ἐξ οὐκ ὄντων καὶ κτίσμα προσαγορεύουσιν, ἐκ τοῦ μὴ ὄντος τὸν υἱὸν ὁριζόμενοι· λέληθε
τοὔνομα μὲν βραχὺ αὐτῷ μόνον χαριζόμενοι· τὸ δὲ ἀληθῶς υἱὸς εἶναι ἀρνούμενοι.
ὁ γὰρ ἐξ οὐκ ὄντων γενόμενος, οὐκ ἀληθῶς γένοιτ' ἂν υἱὸς τοῦ θεοῦ· ὅτι μὴ ἢ
ἄλλο τι τῶν γενητῶν· ἀληθῶς υἱὸς τοῦ θεοῦ ὁ ἐξ αὐτοῦ ὡς ἂν ἐκ πατρὸς ἀπο-
τεχθείς, εἰκότως ἂν καὶ μονογενὴς καὶ ἀγαπητὸς χρηματίσειε τοῦ πατρός· οὕτως
καὶ θεὸς ἂν εἴη. τί γὰρ θεοῦ καὶ θεοῦ γέννημα, ἢ τὸ τῷ γεγεννηκότι ἀφομοιωμένον·
κτίζει μὲν γὰρ ὁμοίως βασιλεὺς πόλιν, ἀλλ' οὐ γεννᾷ πόλιν· γεννᾷ δὲ υἱόν, ἀλλ' οὐ κτίζειν
λέγεται· καὶ τεχνίτης δημιουργός, ἀλλ' οὐ πατὴρ γένοιτ' ἂν τοῦ πρὸς αὐτοῦ δημιουργηθέν-
τος· τοῦ δὲ ἐξ αὐτοῦ φύντος υἱοῦ, οὐκ ἂν δημιουργὸς λεχθείη. καὶ δὴ καὶ ὁ τῶν
ὅλων θεὸς τοῦ μὲν υἱοῦ πατήρ· τοῦ δὲ κόσμου κτίστης ἂν εἰκότως καὶ ποιητὴς λέ-
γοιτο. εἰ δὲ ἅπαξ που τῆς γραφῆς εὑρίσκεις εἰρημένον τὸ κύριος ἔκτισέ με
ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, τὸν νοῦν ἐπισκοπεῖν χρὴ τοῦ λόγου, ὃν μικρὸν ὕστερον
ἐκθήσομαι· ἀλλὰ μὴ κατὰ Μάρκελλον ἐκ μιᾶς λέξεως τὸ κύριον ταυτὸν
τῆς ἐκκλησίας παρασαλεύσωμεν δόγμα· τοιαῦτα μὲν οὖν καὶ ἕτερα πλείονα ὁ Εὐ-
σέβιος ἐν τῷ πρώτῳ λόγῳ τῶν πρὸς Μάρκελλόν φησι· καὶ ἐν τῷ τρίτῳ δὲ
ὁ αὐτὸς διδάσκων πῶς δεῖ τὸ κτίσμα τῆς λέξεως ἐκδέχεσθαι, τοιάδε φησί· τοῦ-
τον μὲν οὖν ὧδε ἐπικατασκευαζόμενος, ἀκολουθοῦμεν τοῖς μόνοις τοῖς προεκτεθεῖ-
σι μὲν ἅπαξ, καὶ τὸ κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ λελέ-
χθαι· εἰ γὰρ λέγει ἐκτίσθαι ἑαυτόν, οὐχ ὡς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρελ-
θὼν ταῦτα ἂν εἴποι· τοῖς γὰρ λοιποῖς κτίσμασι καὶ αὐτὸν ἐκ τοῦ μὴ ὄντος ὁμοίως
γενόμενος· ὅ τινες οὐκ ὀρθῶς ὑπειλήφασιν· ἀλλ' ὡς ὑφεστὼς μὲν καὶ ζῶν
προών τε καὶ προϋπάρχων τῆς τοῦ παντὸς κόσμου συστάσεως· ἄρχειν τῶν ὅλων
ὑπὸ τοῦ κυρίου τοῦ ἑαυτοῦ πατρὸς καταστάς· τοῦ ἔκτισεν ἐνταῦθα ἀντὶ τοῦ
κατέταξεν ἢ κατέστησεν εἰρημένου· δι' ἀρχὴν δημιουργίας τοῖς ἄρχουσι καὶ ἡ-
γεμόσι κτίσιν ὀνομάσει μὲν εἰπὼν ὁ ἀπόστολος· ὑποτάγητε οὖν πάσῃ
ἀνθρωπίνῃ κτίσει διὰ τὸν κύριον· εἴτε βασιλεῖ ὡς ὑπερέχοντι, εἴτε ἡγεμόσιν ὡς
δι' αὐτοῦ πεμπομένοις· καὶ ὁ εἰπὼν δὲ προφήτης, ἑτοιμάζου τοῦ ἐπικαλεῖσθαι
τὸν θεόν σου Ἰσραήλ· διότι ἰδοὺ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα καὶ ἀπαγγέλ-
λων εἰς ἀνθρώπους τὸν χριστὸν αὐτοῦ· τὸ κτίζων οὐκ ἐκ τοῦ γενομένου ἐξ ἀνυπάρξι-
ας παρείληφεν· οὐ γὰρ τότε ἔκτισεν ὁ θεὸς τὸ πνεῦμα, ὅτε τὸν χριστὸν αὐτοῦ δι'
αὐτοῦ πᾶσιν ἀνθρώποις κατήγγειλεν· οὐδὲν γὰρ πρόσφατον ὑπὸ τὸν ἥλιον·
ἀλλ' ἦν μὲν καὶ προϋπῆρχεν· ἀπεστέλλετο δέ, καθ' ὃν καιρὸν ἦσαν οἱ ἀπό-
στολοι συνηγμένοι· ὅτε δὴ καὶ ὥσπερ βροντῆς ἐκ τοῦ οὐρανοῦ ὥσπερ φερο-
μένης πνοῆς βιαίας· ἐπληρώθησαν δὲ πνεύματος ἁγίου· καὶ οὕτως εἰς πάντας